Vc
3636

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-32243-p0001-8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-32243-p0002-4

Ch. 32.a, 21.

V c 3636

# ΕΙΔΥΛΛΙΟΝ

IN MEMORIAM

*SERENISSIMI AC POTENTISSIMI*

*PRINCIPIS AC DOMINI*

# DN. JOHANNIS GEORGII I.

## DUCIS ET ELECTORIS

SAXONIÆ QUONDAM PRÆGLORIOSISSIMI, &c.

Nunc Felicis & Beati

*in Almâ Leucoreâ conscriptum ac recitatum*

*die Emortuali*

à

Balthasare Stolbergio Mittvveid:

Misn. Philos. Stud.

---

WITTEBERGÆ,

*Typis JOHANNIS HAKEN,*

*ANNO M DC LIX.*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-32243-p0003-9

# RECTOR
## ACADEMIÆ WITTEBERGENSIS
## MARCUS BANZERUS August: Vindel: Medicin: D. & PP. Senior.

UNIVERSITÄTS-BIBLIOTHEK HALLE (SAALE)
BIBLIOTHECA PONICKAVIANA

*CIVIBUS ACADEMICIS S. D.*

NObilissimam carminum disciplinā, qui jocorum futilium, qui bilis ac stomachi & conviciorum instrumentum faciunt; aut utuntur pro hamo, quo captent cœnas; vel lenocinij locô habent, quo cupiditatibus suis ac libidinibus velificentur; male utuntur ingenio, & excellentissimā artem ab origine sua ac incunabulis longè traducunt. Primi enim & antiquissimi Poetarum, quid aliud erant, quam Sapientiæ antistites, quàm virtutum præcones pariter ijdemque Doctores: quàm sacerdotes Deorum atque ministri? Hi enim naturas rerum pandebant versibus, hi morum tradebant disciplinas: hi facta heroum celebrabant præclara, ut suavitate numerorum ac elegantia invitati alii eadem vellent capessere: hi precum modulos, hi laudes divinas, ad aras atque altaria decātandas præcipiebant. Hi fines, hic orbis erat, intra quem divina illa ingenia decurrerent, & meditarentur cælestem Musam. Quare qui has transcendunt lineas, & extra hunc sacrum chorum promovent pedem, atque ad ea dilabūtur procaciter, quæ paullo ante perstringebamus,

bamus, non illo ſactiſſimo & peraugusto nomine digni ſunt, verſifices vani, & ſcurræ, & Zoili, & graſſatores, & nugones appellabuntur. Nunquam hoc genus atque hæc ſecta Præſtantiſſimo Juveni BALTHASARI STOLBERGIO Mitvveydenſi Miſnico placuit. Qui cum intelligeret ſe eo ingenio præditum, quod non ineptum ad colendas Muſas Poeticas videretur, longe alias carminum vias ingreſſus eſt. Illas videlicet, quas optimus quisque & emendatiſſimi animi triverat. Inprimis qui magnorum principum laudes, in quibus Cl. Claudianus unus regnat propemodum, executi fuerunt. Cujus inſtituti egregii daturus ſpecimen â meridie poſteafinitis ſacris conſcendet cathedram, Idylliumque Græcum recitabit publicè, quod memoriæ gloriæque Divi JOHANNIS GEORGII PRIMI ELECTORIS SAXONIÆ ſacrum voluit eſſe. Ita enim de Romano Imperio, de patria, de religione, de Muſis etiam noſtris ille maximus principum meritus eſt, ut omnes, qui non abſurdo ingenio nati ſunt, id dare operam debeant, ut fama ejus & nomen ad omnes, quæ futuræ ſunt, ætates perduret. Digna igitur iſta STOLBERGII videbitur pietas, cui faveatis prolixe, ACADEMICI CIVES, frequentesque ad recitationem illius egregij carminis conveniatis. Teſtaturi, quâm reverenter habeatis memoriam Principis optimi maximi: tum quanti faciatis Græcas literas, penes quas omnes & ſapientiæ, & liberalis doctrinæ, & elegantiarum theſauri poſiti ſunt. P P. Dominicâ XIX. Poſt Trinitatis Anno recuperatæ gratiæ cIↃ IↃc LIX.

SERENISSIMO AC POTENTISSIMO
PRINCIPI AC DOMINO

# DNO. JOHANNI GEORGIO II.

DUCI SAXONIÆ, JULIÆ, CLIVIÆ ET MONTIUM,
SACRI ROMANI IMPERII ARCHIMARSHALLO ET ELECTORI,
LANDGRAVIO THURINGIÆ,
MARCHIONI MISNIÆ ET UTRIUSQUE LUSATIAE,
BURGGRAVIO MAGDEBURGI,
COMITI DE MARCA ET RAVENSBERG
DOMINO IN RAVENSTEIN,
DOMINO SUO CLEMENTISSIMO,

*Paternarum Virtutum Hæredi ac AEmulo Felicissimo,*
*Hunc posthumum PARENTIS SERENISSIMI*
*Honorem*
*humillimè ac demissè offert & consecrat*
*Sereniss. Vest. Celsitud.*
*humillimus servus*

Balthasar Stolbergius Mittvveid.
Misn. Philos. Stud.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-32243-p0006-5

## Προσφώνησις.

Τὰς ζαθέας μὲν ἔοικ' ἀρετὰς ἀγάασθαι ἕκαστον
Φωτῶν κυδαλίμων, θέσκελά τ' ἔργα χερῶν.
Ἀλλὰ δ' ἐπεσσομένοισι λιπεῖν, καὶ μάρτυρι δέλτῳ
Ἐντυπόειν, ἀνδρῶν μόχθος ἀοιδοπόλων.
Ὥς τις ἐποπτεύων δύναται λωΐστα διώκειν
Ἐφραδέως τε δαεὶς πήματα δεινὰ φυγεῖν.
Οἱ δ' αὐτοὶ, τοῖς ἀθάνατον προσοφείλεται εὖχος,
Οὕτω τεθνεότες ζῶσι διηνεκέως.
Αὐτὰρ τῶν ἄλλων πλεῖον χρέος ἐστὶ πολίτεω
Εἰς Ἀρχοὺς, τοῖσι σκῆπτρον ἔδωκε Θεός.
Ὅσσον εὐσπλάγχνων παῖδες μελετῶσι τοκήων,
Ἀρχομένους τόσσον χρὴ βασιλῆα σέβειν,
Ἀσπερχές τε καμεῖν, ὄφρ' ἀγλαὸν οὔποτ' ὀλέσκῃ
Οὔνομα, πλὴν γενεῆς ἀκαμάτοισι μένῃ.
Τῶν μνησθεὶς μὲν ΙΩΑΝΝΗ ἐμὲ πάντα ΓΕΩΡΓΩ
Ἄρτι εὐζώω κρίνα χρεωστέμεναι.
Χῶρος ἐπεί με γενεθλίδιος φίλος ἐξάρτησεν,
Εἶτά τε καὶ χαρίτων ἐκκάλεσεν μέγεθος,
Ὥστε λύρης ἅπτων ἀγριὴν κακόφωνον ἀοιδὴν
Τολμῆσαι κλάζειν ἀμαθέεσσι μέτροις.

Ἀμφαίνων χάριν, ἐς τόσσον χείριστος ἀοιδῶν,
    Ἀρχὸς ὅσον κυδρῶν κεῖνος ἄριστος ἔῃ.
Σοὶ δέ κε, Κοσμῆτερ, περίσημε ὁμώνυμε Ἥρως,
    Ὃς νῦν εὖ κραδάεις σκῆπτρον ἕκητι Θεοῦ,
Ἠδ᾽ ἀρετῇ πατρίων ἔμφρων ἐφάμιλλος ὑπάρχεις,
    Ἐμπαρέχω Μούσης τοὔργον ἄτερπον ἐμῆς,
Προσλιπαρῶν χθαμαλῶς ὅπως ἐπιεικεῖ θυμῷ
    Ὑψυλὸν γονέος κῦδος ἐπισκοπέῃς.
Ὡς Σοὶ παμβασιλεὺς αἰώνιος αἰθέρα ναίων,
    Ἡδεῖ σὺν βιότῳ χρήσιμα πολλὰ διδοῖ,
Ἰθύνοι βουλὰς, ὀρθῶς τεὰ πράγματ᾽ ἐλαύνοι,
    Καὶ καρπὸν Ῥύτη ἀμφιθαλῆα χέοι.

Αἰεὶ μὲν θνατοὶ σπουδὰν ὁμόζαλον ἔθηκαν,
Δηναιόντε κλέος φερέμεν, καὶ ἐρείδεν ἀγήρω
Μνάμαν ἀνθρώποις, τοὺς κάρτος ἄληκτον ἀείρε
Κεκραμένους ἀρετᾷ καθαρᾷ καὶ πράγμασι κυδρούς.
Τήνους μὰν αἰδέαθεν ἀεθλοφόρως καταγῶνας.
Ναὼς δ᾽ αὖ τήνοισι θυώδεας ἄλλοθεν ἄλλος
Εἵσατο, καὶ φιαρῷ περικαλλέας ἔνδοθι χρυσῷ
Αὐτοὺς ἵδρυσεν, πᾶσιν μερόπεσσιν ἀρωγούς.
Τανίκα πιανθέντα βοῶν ἀπὸ μηρία τάμνων,
Εὐφάμως κάκκηε νεοθρέπτων ἐπὶ βωμῶν.

Ταυτὸ

Ταυτὸ δ' ἀεὶ Μοίσαισι μέλει, Μοισᾶν θ' ὑποφήταις,
Ὑμνεῖν ἀμιθέους, ὑμνεῖν ἀγαθῶν κλέα ἀνδρῶν.
Ὥς ποτε μὴ ἀκλεεῖς, οὐκ' ἀνάκοοι ἐν χθονὶ κοίλᾳ
Εὐνάζοινθ', εὕδοντες ἐγέρσιμον ἄδυμον ὕπνον,
Λάθοινθ' ὡς μακέλα τετυλωμένος ἔνδοθι χεῖρε
Ἄγειος, ὅς ῥ' ἀναβωλακίας ἐειθαλέος αἴας
Νῶτον ἐπιχίσδων τὰς αὔλακας ὀρθὰς ἐλάυνε,
Δύστανος μετ' ἄλαστον ἄχος, μετ' ἀθέσφατον ἶδος,
Δειναὶν ἐκ πατέρων πενίαν ἀκτήμονα κλαίων,
Τὰν αἴδαο πύλαν κρυερὰν ἄμναστος ἀεράσει.
Ἐκ Μοισᾶν γαβροτοῖς ὑψηλὸν ἐλήλυθε κῦδος,
Ῥέξαντάς τε καλ' ἔργα σοφῶν ὤνασαν ἀοιδαί.
Ὕμνασ' Ἀρκεσίλαν κεδνὸν βασιλῆα Κυράνας
Πίνδαρος Ὠγυγίας θήβας κύκνος ἡμερόφωνος.
Κἀξ Ἀπόλλωνος φορμικτὰς νήδυμος Ὀρφεύς.
Τῶν γλαφυρὰν Ἀργὼ καταβάντων θεῖον ἄωτον,
Ἠ δὲ κλυτὸς Πτολεμαῖον ἄεισε θεόκειτος ἀρχόν.
Κἄλλοι ἀντίθεοι, Αἴας βαρυμάνιος ἄρως,
Ἠδ' Ἕκτωρ, Ὀδυσσεύς, Ἀχιλεὺς ἔτι πύργος αὐτῆς,
Ἐκλελαθόντες ἀρηϊφάτοις νεκύεσσιν ἔκειντο;]

Αἴ μὴ

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-32243-p0009-6

Αἰ μὴ τὰν Πριάμοιο πόλιν, καὶ λυγρὸν ὄλεθρον
Ὑμνάσαις φιν κλέος ἐμήσατο Χῖος Ἀοιδός.

Καὶ τὶν ΙΩΑΝΝΗΣ μεδεόντων λῷστε ΓΕΩΡΓΕ
Χώρας Σαξονικᾶς Κοσμᾶτορ, χοιείλος ὤγὼ
Βωλοίμαν φορέειν λιγεᾶν μειλίγματα Μοισᾶν:
Ταὶ δὲ πέλοντι ὁδοὶ χαλεπαὶ, στόμα τ' ἀμβλύ μιν ἐστί.
Φαμί κα τοῖ' οἰσεῖν, ὅππως ἐμὸς οἶκος ὑπαρξεῖ.
Ὕμμες δ' αἰδέσιμοι Ἄνδρες, Μεγαλεῖε Λυκείω
Εὐθυντὴρ, Μώσαις πεφιλαμένοι: οἳ μὲν ἔπινον
Παγασίδος κράνας, χαρίτων φύτα θεσπεσιάων
Γνήσια, τὼς παρὰν Ζανὸς ἐπὶ θρόνον ἄγαγε φάμα,
Εὔπλοον ἐμπνείοιτ' οὖρον. Μοισᾶν δέ κ' ὀπαδοί,
Υἷες Ἀπόλλωνος, τὼς Λευκορὶς ὧδε γεμίσδει
Χριστοσεβεῦς διδαχᾶς γλάγεος, κυφίστατε ὁρμάν.

Αἴκα μὲν, ὡς φαντ', αἰχμαλαῖς γεγάαντι γονεῦσιν
Υἱέες ἴφθιμοι, πατέρων ἀναβάλλεται ἰσχὺς
Ἐς νεβρὼς, ὄρνιν δ' οὐκ αἰετὸς ἐκλέπε νωθρόν:
Οὐκέ τυ θαυμάσδω τοίως μενέχαρμον ἐόντα,
Δῖε ΙΩΑΝΝΗΣ ΓΕΙΩΡΓΕ, ἀμάχανος Ἄρως
Περὰν ποκα Σαξονίδων μεγαθύμων ἀγλαὸν αἷμα,

ἔργα·

Ὤγαθὸς εἰράνα καὶ καρχαρόδοντι ἄρηϊ.
Ἀλλὰ τίς αὐδάσει ζάθεον γένος; ἢ μὲν ἀνάξει
Ἐς ζόφον ἀργίποδας φαεσίμβροτος ἅλιος ἵππως,
Κἀμοὶ τῷ μέλιτος γλυκίων βλεφάροισιν ἐφίξει
Ὕπνος, καί κ' ἀὼς βαθέων ἄψορρον ὀρούσει,
Πρίν με διεξενθῆν μακροὺς στίχας ἀγλαοτίμων
Πάππων, διςπάππων, ἐπιπάππων, παππεπιπάππων.
Ἀρτάειχον μὲν πρῶτα Βόδωνά τ' ἀγάνορ' ὑπάρχει
Ἄμμιν μεμνᾶσθαι, τὴν ἐκ πολυόλβα πέφυκε
Φῦλα ψοᾶν Ἀρώων, οἷαπερ ἔκχεεν ἵππος
Τευχιστὰς πολέας Τροίας ἔχθιστον ἄγαλμα.
Εἶτα δὲ καὶ πάντες Βιδεκίνδου ἄσχετον ἀλκάν
Οἴδαμεν. ὡς οὐδεὶς Ἀργείων δαμοχαρίστα
Σισυφίδα ποτὲ μῆτιν ὁμοιωθήμεναι ἄντην
Ἤθελεν; ὡς οὗτος πυκινοῖς μήδεσσι κράτησε.
Φαίδιμος ἀελίοιο τλάειν πυρόεσσαν ἐρωάν,
Ἠδὲ μεσαμερίου δίψευς χαλεπώτατον ἄχθος.
Ἐσλὸς κ' ἀντιβίους ἐν τοῖς μώλοισιν ἐναῖρεν.
Ὡς δὲ δρῦς δικταία ἐπ' ὤρεσιν ἀλιβάτοισι
Κορμὸν ἔχοισα κάτω συχνὸν, ῥίζαν τε βαθεῖαν,

Ὄζως ἐκβάλλει μακίστως, τοὶ δὲ κλαδίσκους,
Ἐξῶθοντ' ἄλλους, χλοεροῖς πετάλοις κομόωντας,
Δάσκιον ὀκναρῷ παρέχοντας θῶκον ὁδίτᾳ,
Καὶ νοσσῶν ἀπαλάλκοντας βαρυαχέας ὄμβρους.
Ὥς ἄρα Σαξονίδων Ἡρωΐδος ἔρνεα φύτλας
Αὔξανε Κρειόντων: οἱ δ' ἀμφὶ πλατεῖαν ἔνιλλον
Εὐρώπαν, χαρίεσσαν ὄχλοις ὀρέγοντες ἄρηξιν.

Ἄλλους ἁγεμόνας λαμπροὺς Ῥωμαΐδος Ἀρχᾶς
Θαύμασε κόσμος, ὅχ' Ἀρπυίαισιν ἐοικότες Οὗννοι,
Τῶν οὐκ ὠμοτέραν γενεὰν μένος ἀελίοιο
Παμφανόωντος ὄπευσεν ἐπὶ στερνοῦχον ἄρουραν,
Πάντα λαπάζεσκον, πολίων αἰπηνὰ κάρηνα
Ἤειπον, ἠδὲ πυρὸς πρῆθοντ' εὔτυκτα μέλαθρα.
Αἶκα μὲν εὔδειπνον θαλίαν ποκὰ θυμὸς ἄνωγε
Στᾶμεν, καινυμένους ἐχθρῶν σφάξαντες ἔτευχον.
Αἷμα δὲ μιγνύντες βρότεον πολῦχανδεῖ κρωσσῷ.
Πάμπαν ἀμέλγοντες ποτὶ τὸν τρύγα χεῖλος ἔρειδον.
Τανικάδ' Ἑινείκῳ μούνῳ μενέδουπος Ἀθάνα
Θάρσος ἐνὶ φρεσὶ πᾶξε, δέος δ' ἐξείλετο γυίων,
Ὅς ῥ' ἀνταχόμενος κρυεροῖς ἐχθροῖσιν ἐείσδων

Ἀνέρας

Ἀνέρας ἰφθίμους δάμνασ' ὑπὸ κάρτεϊ χειρῶν.

Νικάσαις δώμασε θεῷ κηώδεα ναόν,

Βωμόν τ' εὔγλυπτον στηρίξαις, αὐτόθι κεῖνται

Μαρνάμενοι ἄμοτον φῶτες πεπυκασμένοι ἐν γᾷ.

Ὀττώνων μετέπειτα τελὰς σκάπτοιο λέλογχεν,

Ἱππῆες, ταχύπωλοι, ἀεθλατῆρες ἀγαυοί.

Τῆνος μὰν Ἐνέτους προσανεῖλ', ἀντέσχε Βοήμους,

Παννονίους τε πικροὺς ἐκπλήξας ἀμύνετο Κίμβρους.

Μέσσος ἐς Ἀργείους ὄρσων πολύκλαυτον ἄρηα,

Οὔ ποκ' ἐτάρβασε φρεσὶν πολεμαδόκα Τύρκων

Τεύχε', ἀτὰρ πολέων ἐριθύμων γούνατα λῦσε,

Κἄτι κακῶν πλείω, ἀιμὴ κρυφίοισι λογισμοῖς

Παποσεβῶν περιβαλλόμενος μέγα κάρφετο οἶτος.

Οὗτος δ' ἄρ κατὰ θυμὸν ἑῷ πεπονημένος ἔσχε

Πατρός: ἔπειτ' ἀναβὰς ἐς ἀγακλυτὸν ἀνέρ' ἀταρπὸν

Εὖ ἀρετὰν ἕρπεν, καὶ κ' εὖ λαοῖσιν ἄνασσε.

Λοίσθιος ὢν τούτοισιν ἐν ἀγεμόνεσσιν ὀπάδει

Ἱερὸς Ἑινεῖκος πολύδωρος ἀλαθινὸς Ἀρχός,

Πάντα σαοφρονέων; καθαρὸς καὶ εὔτροπος ἦθος,

Τὸν νόμον ἀγνοσύνας ψυχᾷ καὶ χρωτὶ φύλασσε.

Χαίρετε Σαξονίας πολλόν μοι χαίρετ' Ἄνακτες,
Ἔνθ' ὅσσα νῦν ἀθανάτοις μακάρεσσιν εἴσοι
Ἐκπάγλως γαθεῦντ' ἐρατεινὴν τέρψιν ἑλόντες.
Ἔνθα σὺν ἄλλοισιν θαλίας ἔχεθ' ἀμιθέεσσιν,
Ἔνθ' ὔμμιν χρύσεος γανόει ὑπὲρ αἰθέρα θυμός.
Χαίρετ' ἔπος φαιδροῖς τόδ' ἐπωφελέοντες ὀπωπαῖς.
Αὐτὰρ τῶδε γένευς δύναται τὶς μᾶκος ὑφαίνειν
Ἐς τέλος ἐξ ἀρχᾶς, Δηδώνων Δειδερείχωντε,
Θυμάννων, Ἑινείκων, Κυνεράδων, Φρεδερείκων;
Οὐδεὶς δᾶν οὐδεὶς, χαλεπὸν τόδε, κοὔτι τελεῦντι
Οἱ Μοισᾶν ὄρνιχες; ὅσοι ποτὶ χῖον Ἀοιδὸν
Ἀντία κοκκύζοντες ἐτώσια μοχθίζοντι,
Ἔμπα τυ μὴ σιγῶ Φρεδερῖκε: Λυθῆρον ἔρεψας
Οἶος μαινομένων δαίμων, ἐτεόντε σέβασμα
Ἐξώφελλες ἑκών, πεφιλαμένος ἔξοχα Μώσαις
Ἐννέα, καὶ σοφίᾳ περιέχων. Τεῖν ἆθλον ἄγοντι
Ἄμβροτον αἱ χάριτες, κῆψε κροτάφοισιν Ἀπόλλων
Χρυσοδέτους στεφάνους, τῷ ἄσυχον ἕδραν ἔτευξας
Θειοδόμων πινυτᾶς εἴσω Λευκωρείδος ἑρκέων.
Τηνεὶ νῦν σοφίας τρυφερῶς ἀσκάματα θάλλει,

Θευλο-

Θευλογία τε σέλας τηλέσκοπον, ὕψι περιφαίνει.

Χαίρετε Σαξονίας, πολλόν μοι χαίρετ᾽ Ἄνακτες.

Οὐδὲ τεαῖς ἀρεταῖσιν ἴσον Μαυρίτιε κλεῖος.

Οὔτις ἐφευρήσει, αἴκεν ῥάξειε λάρυγγα.

Θαρσαλέον λασίοις θυμὸν περὶ στήθεσιν ἴσχες,

Ἐξ ἄβας δ᾽ ἔαδεν πολεμήϊον ἔργον ἄρηος.

Κἤπει τυ πρῶτον μὲν ἔλεν λευκόσφυρος ἥβα,

Ὅπλοις ἐσσάμενος μᾶλλον λαιψηρὸν ὑπῆνθες

Παντοδαπῶν ἐθνῶν αἰὲν πρώτοισι πεφανώς.

Καὶ μὴ ἀνεὶ θάνες, τρύξειας γλῶσσαν Ὁμήρω.

Πανθελγὲς δὲ χ᾽ ἅμα φιλοθεία κέντρον ἔρεισεν

Ἐς φρένα μοι σοπάσακτον, ἔχεν τ᾽ εὐήλατον ὁρμὰν

Εὐλαβίαν ποτάγεν καὶ καλὰς τέχνας ἐγεῖρεν.

Τοὔνεκα πιείσιν τρία παιδευτήρια δεῖμε;

Ἓν μὲν ὅπα δίναις λευκαῖσιν ἑλίσσεται Ἄλβις.

Ἄλλο δ᾽ ὅπα Μόλδα, τρίτατον παρ χεύματα Σάλας.

Χαίρετε Σαξονίας πολλόν μοι χαίρετ᾽ Ἄνακτες,

Χαίρετ᾽ ἔπος φαιδροῖς τόδ᾽ ἐπωφελέοντες ὀπωπαῖς.

Ἄστρα κατασβέσσει θᾶσσον πολύχαλκος ὄλυμπος,

Νυκτός τ᾽ εἰσοισεῖ φαυσίβροτος ἅλιος ὄρφνας,



Χ᾽ εἰλι-

Χ' ἑιλιξεῖ πέλαγος θνατοῖς ἀροτήσιμον ὕδωρ,

Ἢέ ποχ' ὑμέτερον πολυήρατον οὔνομ' ὄλειται

Ἐκ Πατέρων τούτων γένος οὐχ' ὑπόχαλκον ἔδεκτο,

Αὐτὰρ ἀκίβδηλον, μετὰ τῶ μθύος οὐκ ἀλαπαδνὸν

Ἐν στέρνοις, ἅμυδίς τε Τυραννίδος ἄξιον εἶδος.

Τίκτε ποχ' Ἀλκείδαν Ἀλκμάνα μυριόμοχθον.

Τὸν δ' Ἀχιλῆα Θέτις, τὸν δ' Ἕτορα χαλκοκορυστὰν

Τίκθ' Ἑκάβα. Τύ δ' ΙΩΑΝΝΗΣ αἰχματὰ ΓΕΩΡΓΕ

ΧΡΙΣΤΙΑΔΗ τέτοκ' αἰχματᾷ ἁ πότνια μάτηρ.

Ἁ Δρέσδᾳ δαίδαλμα Θεῶν ἐνὶ Μεισίδι γαίᾳ

Ἀγκοίναις τυ πίευσ' ὄκα πεάταν θάσσαο ἀῶ.

Τειγεὶ γὰρ στερεαῖς βεβαρυμένα ὠδίνεσσι

Μάτηρ εἰλήθυιαν ἐβώσατο λυσίζωνον.

Αὐτίκα δ' ἄστυ βρέμεν μακρὸν μαντῴδεϊ φωνᾷ:

Ὄλβιε κῶρε γένοιο, τίεις δέ με τόσσον, ὅσονπερ

Τροίαν Πριαμίδας Ἕκτωρ, ἢ δῆλον Ἀπόλλων.

Ἔργοισιν μέλλεις ποτ' ἐς ὠρανὸν ἄστρα φέροντα

Ἀμβαίνην, ἄλλοι τεῦ ἥσσονες ἄνδρες ἔσεῦνται.

Ἀλλὰ Τύ φαλύτεραι, Μᾶτερ, περὶ γούνατι νᾶμα

Χερσὶ καταστρέψοισαι ἀκρέσπερον ὑμνασεῦντι,

Καὶ

Καὶ τὸ σέβας τελέθεις ἀγητείραισι γυναιξί.
Ὥς κεν ἔειπε πόλις: βροντὰν ἔκλαγξεν ὄλυμπος,
Ἐκ νεφέων τ' ἀναῦσ' ἐελδόντων αἴσιον ἄχος.
Πᾶς δᾶμος μάλ' ἀτύζετ', ἀκίνατοί τε σιωπᾶ
Ὕστερον οἰωνὸν βώστρευσαν ἀλαθέα γνόντες.
Οἷα δὲ καπωρὸς μακροῖς σκολόπεσσιν ὀνορθοῖ
Θαμνίσκως, πλελέαις μυσεικέας οἶνας ἀραρώς,
Ὡς μὴ καμπτόμεναι ἀντέλλην ὄμφακας ὠμάς.
Ὥς παντῶς ὑπὸ πατρὶ νέος κατὰ χρεῖος ἐτρέφθη.
Γράμματα μὲν μεμάθηκεν ἀκριβέα καὶ λόγον αὐδᾶς
Μυστικὸν οὐρανίας, κορυφὰς ἀρετᾶν ἀπὸ πασᾶν
Εὖ δρέψας, τανύσαι τε δαεὶς ἑκατάβολα τόξα,
Ἵππως τ' ἐξελάσαι εὐσκάρθμως, καὶ μετὰ νύσσαν
Ἀσφαλέως τροχάειν καὶ ἱππήεσσι κελεῦσαι.
Ἀνίκα δ' ὧν φίλος γλυκὺν ἐξεκένωσεν Ἀδελφὸς
Θυμὸν, τὸ σκᾶπτον καὶ τὰν βασιληΐδα τιμὰν
Ἔλλαβεν, εὐθὺ κυβερνασεῖν, κὤχλοισιν ἀναξεῖν,
οὐδ' ἔσφηλ' εὐχάς, πάντων ἔκρινον ἐέλδωρ.
Εὐσεβίαν πρέσβευμα θεοῦ φρούρασεν ἀμέμπτως,
Ἠδ' ὁσίας ἔμαθεν διδαχᾶς νημερτέα φωνάν,

Καὶ

Καὶ σαφερῶς ἐξεῖπε καὶ ἀμφαδὸν, ὅσσα διδάχθη.

Εὖ νοέων θεὸν, ὥστε λόγοις ἔργοισί τε φαάνθη,

Δειμαίνων, καὶ πίστιν ἐπ' αὐτῷ πᾶσαν ἐρείδων.

Πάντ' ἔτλα φρατὶ, καὶ στυγερῷ βεβυθισμένος ἄχθει

Ἐν χθαμαλοφροσύνᾳ θεοπειθέα θυμὸν ἄειρεν.

Ἧς δὲ σκόπος Χριστός: μόνα Χριστοῖο στοχάσθη,

Ὡς τοκέες πρότεροι, τῶν ἴχνεα θερμὰ κονίᾳ

Στειβόμενος, γλάγεος δι' εὐπλοκάμοιο τιθήνας

Εὐλαβίας πολυόλβου ἔρον τοσοῦτον ἄρυσεν.

Ὥσει θὴν πρόπαλαι μεγάλαν Καρχαδόν' ἁλόντες

Ῥωμαῖοι ὀλοᾶ δοκέοντο τετυγμένοι αἶσα:

Οὕτω Σαξονικοῖο γένευς βλάστημα τέθηλε

Παμμεδέοντος ἕκατι θεοῦ ἀλαπάσδεν ἀπεχθεῖς,

Παπιστᾶν κακὰ φῦλα θεοβλαβέωντε Τυράννων.

Ἐν τούτοισι Πάτρες βάθροις βεβάαντι ὄλυμπον,

Καὶ θνατῶν ἄπο ἰσοπαλεῖς μακάρεσσι τεθέντες

Ἀθανάτοις, κέρας ἀμβροσίᾳ στάζοντ' εὐόδμῳ.

Καὶ μὲν ἴσως ἐς τὸν τρόπον οὗτος ὄλυμπον ἀνείκει,

Ἤδ' αὐτὰ λοιπᾶν ἀρετᾶν ὡς πύργος ἐτύχθη.

Ἁγνὰν παιδείαν καθ' ὁμάγυριν εὐσεβεόντων,

Τὰν θεὸς αὐτοκράτωρ κατ' ἴδον σφὸν θεσμὸν ἀνώγει,

Κόσμα-

Κόσμασέν τε καὶ ἀντιπάλων κατὰ κάρτα φύλαξε,
Μήτις ἵκοιτο λύκος μεγαλόβρυχος ἅρπαγι λαιμῷ
Μᾶλα διασκεδάσαις, ἢ μίσθιος ὃν δέος ἴσχει
Ὀκναρὸν, λύκον ἐγκονέοντα λάων ἀφύλακτα
Κρυπτὸς ἀλυσκάζων ἀπολείπει πώεα μάλων.
Ποιμένες ἀλλ' εἶεν καλοὶ καὶ καλὰ νομεῦντες.

Πρᾶτος ὁ μὲν τελέειν αἰώνιον ἐς τρὶς ἑορτὰν
Κέκλετο. Καὶ μὲν ἅπαξ, ὅτε θεσπεσίαισιν ἀρωγαῖς
Λυθῆρος θεόλαπτος ἀνὴρ δοξᾶν ἐκέδασσε
Ψευδολόγων ὄρφνας, ταὶ δαρὸν ἀλήμονα κόσμον
Κρύπτευον, πραπίδας τε βροτῶν ἀτέραμνον ἔχοντο,
Τοῦδ' Εὐαγγελίου καθαροῦ πάλι φαῦσιν ἄναυσεν,
Ἀγκομίσαις χριστῷ τε κλέος, φιλίαν τε δίδαξιν
Ἀμφὶ θεοῦ χάριτος, τὰν ἐς φάος ἄγαγ' Ἰησοῦς,
Ὃς νόμον ἐκτελέων, ἁμὶν ὑπὲρ αἰθέρος ὄλβον
Ἀενάου βιότοιο θεοῦ κατὰ δῶρον ἔδωκεν.
Ἁνίκα δ' Ἀρχηγῶν Αὐγοῦστα πανάγυριν εἶχε,
Καὶ δόγμ' ἀτρεκίας ἀναφαίνετο μάρτυρι δέλτῳ
Καίσαρι καὶ λογάδεσσιν Ἀγοῖς Γερμανίδος αἴας,
Δευτέροεν: τείασευε δ', ἐπεὶ πολέμοιο ἀνέντος

Λῆξαν τοὶ θόρυβοι, λιπαρά τ' ἀνάτειλε γαλάνα·
Ὅπλα μετεξέδυον, καὶ ἐς βαθύςερνον ἄρουραν
Υἷιες ἐνυαλίω πᾶξαν, πᾶσιν δὲ μέμηλεν
Εἰράνα χαρίεσσ' ἀν ὅλαν Γερμανίδα χώραν.
Ὡς ὁπόκ' ὠμοβόροι θαλερὰς πὰρ ςυμφάλυ ὄχθας
Οἰωνοὶ καταςκήπτοντες πτερύγεσσι θοαῖσιν
Ὡς βελέεσσι πικροῖς μέροπας βάλλοντι, βροτῶν τε
Πολλοὶ ἐς εὐρεῖαν σχεδίαν Ἀχέροντος ἔκυρσαν.
Ὡς ἐν πρόσθε χρόνοισι τανυγλώχινας ὀϊςὺς
Δοξαν ἰοβόλων ἄμμων προϊέηκασαν ἄιας,
Ὀρθοφρενιπλανέες παχυοσκοτοερωδιάκται
Αἱματοδιψαλέοι κοσμυπαντηπεροπευταὶ
Παπισεβεῖς, λευκάν τε σβέσαι Εὐαγγελον αὐγάν,
Πολλάς τε ψυχᾶν ἀίδα μεμαῶτες ἰάλλεν.
Ἄρτι Ἐνυαλίυ μανία ταμεσίχροος εἷλε
Μεισίδα, καὶ μυιᾶν μιαρᾶν ὡς ἔθνεα πολλὰ
Γλαδὸν ἀμφὶ φερεγλαγέας σακὺς ἀλάονται.
Τάων δ' ὔτις ἀριθμὸς ἐν ἤερι γίνεται εὐσᾶν,
Οὐδ' ἄνυσις ῥέα φοινικανθέμω εἴαρος ἀκμᾷ:
Οὕτως ὖλος ἄρης ἀδινὺς προκαλίνδεε δαΐυς.

Καὶ

Καὶ γὰρ ἐνεπλήσθη πεδίον πᾶσαί τε κέλευθοι.
Πάντα διάρπαζον, βλοσυρῷ πάνθ' αἵματι χαῖνον,
Μαντείους βωμοὺς ἀμ' ἀγροῖς λυμαίνεν ἕτοιμοι.
Ἀλλὰ Τὺ νωϊτέρας, Κοσμᾶτορ, ἄσυλον ἐτύχθης
Καὶ προβολὰ βιοτᾶς, στιβαρὸν καὶ ὀνάσιος ἕρκος.
Ἐν στήθεσσιν ἔχων ἄρρηκτον θυμὸν ἔκανας
Στυμφαλίδας βίᾳ ὥστε πολύφρονος Ἡρακλῆος.
Χ' ὥστε Λιταὶ κρονίδα κόραι μέγα βουλεύοντος
Ἀρτίζοντι βλάβας τὰς ἔπαξεν ἐπώδυνος Ἄτα,
Τοῖα Τύγ' ἁμέτερον μίνυθες κακὸν, αἰνὸν ἀγῶνα
Ἔς Τυ καταιλαφὼς ἁμῶν εὖ ἦτορ ἔτερπες.

Φθεγγομένους λόγον ἀτρεκίας, φυγάδας, βαρυπότμους,
Ἐξείνισσεν ἑκὼν, ἠδ' ἐν μεγάροισι φίλασε.
Φαμί κε, πάμπαν ἀεί τ' ἀγαθὸς καὶ χρηστὸς ἔζωσε.
Κοὔτι ἀποθνάσκων ἀμέλασε διδάγματος ἁγνοῦ,
Κόσμον ἀπορρίψαις βασιλήϊον, οἷον ὀρέχθη,
Καίπερ ἐνισχόμενος, κρατέειν σφραγῖδα Λυθήρου,
Ῥήματος ἀμφαίνων ζαθέου σάφα κυδρὸν ἐρῶτα.
Παδρ' ἐρέω: τίμασε σχολὰς τίμασε καὶ ἄνδρας
Μουσοπόλους, τοὺς ἰδμοσύνα πολύμητις ἐπαίρει,

Τὰν αὐλὰν πετάσας Χάριτας ποτιδέξατο οἴκῳ
Ἀσπασίως, καὶ θαητοῖς μειλίσσετο δώροις:
Ὡς μὴ σκυζόμεναι γυμνοῖς ποσὶν οἴκαδ᾽ ἴοισαι
Τωθάσδεν χαλεπῶς, ὅτι ἀλιθίαν ὁδὸν ἦνθον.
Μᾶλλον δ᾽ ὄφρ᾽ αὐτὸς κτερεϊσθεὶς ἐσλὸς ἀκούσῃ.
Εὐσεβίᾳ κεν ἀκίβδηλος καὶ προῦπτος ὀπάδει
Θυμὸς, λοιδορείας καὶ σκώμματα στύξε κρύφαια,
Ἧς δ᾽ ἐπ᾽ ἀλαθεία πεπλασμένον αἰθέρος ἔρνος.
Οὔτι φιλήδασεν βροτέῳ χέρας αἵματι φύρσαι,
Αὐτὰρ ὁμοφροσύνας ἄλεγεν, θέμιτός τε θυγατρὰς,
Εὐνομίαν ἁγνάν τε δίκαν, καὶ ὀλβιοδῶτιν
Εἰράναν τίε τημελέως ὁσίως τε φύλασσεν.
Εἰράνα καλὸν οὐρανόες βωμοῖσιν ἀχράντοις
Ἐγκαίνιξε κλέος, ξείνοις τε καὶ ἐνδάμοισιν
Ἰθείας νώμασε δίκας, πόλιας δὲ δόμασεν.
Αὔλακας εὐρίνοντι βόες τρίβοντες ἄροτρον,
Καὶ κατ᾽ ὄρος βόσκοντ᾽ ὀχυρῶς ψαφαρότριχα μᾶλα.
Οὔτις γὰρ δαΐων κοῦφον δαλεῖται ὁδίταν
Κοὔτις θωραχθεὶς ἐπὶ βωσὶν ἀνάρσιος ὦρτο.
Ὡς ἀγαθὸν θνατοῖς οὐκ ἄλλο ἄρειον ὑπάρχει.

Καίσαρ

Καίσαρα δ' εὐαγέεσσιν ἀτέρμονα ποιμένα κόσμῳ
Κόσμαζεν τιμαῖς, ὀλοφώϊα δήνεα πιστὸς
Μὴ κρύπτων, πλὰν καὶ μύθοις καὶ χερσὶν ἀρήγων.
Ἀνίκ' ἀφανίασαν πολυπήμονα φῦλα Βοήμων,
Πευκεδανόν τ' ὄρσον πόλεμον θεράποντες ἄρηος,
Ἀχθόμενοι σακέεσσι βραχίονας ἰτείνοισιν,
Οἱ πολλοὺς μὲν ὁμωροφίους ἐπίσυρον ἑταίρους,
Ἐκσείειν μεμαῶτας ἁμᾶ ἀσεμφέα ζεύγλαν,
Οὗτος ἄφαρ θωράσσετ', ἐπὶ ξυροῦ ἤδη ἐόντων,
Ἵππων αἱματόεντα περασσομένων καθ' ὅμιλον,
Καίσαρι Λουσάτους ἀνάγεν μεταστάντας ὀρεγνύς.
Τήνους δ' εἷλε φόβος φροῦδος, λίαν θ' ὑπότρεσαν.
Ὡς ἔπλαξε λύκος θνατοῖς κακὰ πήματα ῥέξαις,
Ἠὲ κύνα σφάξαις, ἢ βωκόλον ἀμφὶ βόεσσι,
Διδράσκει περὶν ὅμιλον ἀολλησθήμεναι ἀνδρῶν:
Ὥς ἐχθροὶ τρέσσαν, τοὺς δ' ἐνδελεχῶς ἐδίωκεν
Ἀρχὸς ἑλὼν πόλιας καὶ ἕρκεα στερρὰ ἐρείπων.
Ἧς δὲ χρόνος χαλεποῖς ἅμος κακὰ κρούετ' ἀήταις
Ὁλκὰς ὅλας Ἀρχᾶς, γλαυκὸν περικυλίνδετο κῦμα
Ἐκ πρώραθεν ἀειρόμενον μετὰ πρύμναν ἀραιάν,

Ἄρτι κ' ἀναῤῥᾶξαι χάυνος καταφαίνετο τοῖχος,
Ὄκκα τεὰ πυλυφροσύνα, μεγάδοξε Ἄνακτορ,
Χειμέριον διάλυσε νέφος, ῥόθιόν τε νότοιο
Ἄμπαυσεν δοῦπον, ποτ' ἐὺν πλοῦν πάντα διορθῶν.
Οὐκ ἄλλως ἐρύοντι βυθοῦ τὰς νᾶας Ἀδελφοὶ
Τυνδαρίδαι ναύταισιν ὀϊομένοις φανέεντες.
Εἰράναν πεῖθεν τῷ Καίσαρι μουνοσκάπτρῳ,
Σιλεσίας τ' Ἄρχοῖς καὶ Λυσατίας μεγαλαύχαις.
Εἶτα δὲ Σουήκους, Γάλλους ἄλλων τ' ἀγερώχων
Ἁγεμόνων φυλὰς πόταγεν Ῥωμαΐδι Ἀρχᾷ.
Τοὔνεκ' ἀειμνάστου δόξας λάχεν, οὔνομα δ' αὐτοῦ
Ἐσχατίαν θούλαν σκυθικόν θ' ὑπεείπλαται ὕδωρ.
Δυσμενέες Σοφίαν ἀγάαντ', αἰνεῖ τυ Καραφφά,
Ἠδὲ τεὰς βουλὰς ἄλλων πολὺ κρείττονας εἶπεν.
Ἧς δωρηματικὸς, καὶ πολλοῖς πολλὰ δέδωκεν,
Οἷα χρὴ βασιλῆ, αἰτεύμενος οὐκ ἀνάνευε.
Εὐθὺ τὰ κοινὰ σάων νυκτὸς καὶ ἄματα φρεσσὶν
Ὠφελίαν ὑποτασσομένων ὥρμαινεν ὀφέλλην.
Ὥστε φίλων παίδων κεδνὰ πεφρόντικε μάτηρ,
Μυίας ἐέργοισ' ὄκκα βαρὺν ψαύοντι τὸν ὕπνον.

Ὧς

Ὣς ὅγε τημελέων δαΐων ἀπάμυνε βιασμῶς.

Εἶδος ἀγατὸν ἰσοψάφων ὑπέρειδε δικάων,

Κτίξε νόμως, καὶ τὼς λῦσε χρόνος, αὖθις ἔγειρεν.

Οὐ φιλόδοξος ἐών, ἅμος βασιλεῖον ἑκοντί

Πρόσθεν προσφέρετο σκᾶπτον, πινυτῶς τόδ' ἀφεῖκεν.

Οὐκ ἀλέγων ὅσσον τὰν χώραν ἔνθα πλατύνοι.

Οἶμαι δ' ὥσπερ ὀρεσσίβατον πρανὰ Ὀλύμπω

Οὔτινες ὑψιπετᾶν ἀνέμων κλονέοντι ἀῆται,

Αὐτὰρ ἀκίνατος κεῖται, ὁρμάς τε γέλασσεν:

Ὣς οὐχ' ἁμετέρω Ἀρωΐ σαλεύετο ἦτορ.

Μὴ μόνον ἤϊθεον σπουδαίως σκέπτετο θεσμόν,

Πλὰν καὶ κυδαλίμων οἰκεῖ' ἐνδείγματα πάππων

Ὅπταν ὀσαμεεινόν, καὶ τὴν αὐτοσαυτῷ ὁρμᾶ

Εὖ ζάλωσ' ἀρετὰς, τηλέκλυτ' ἐπώνυμα πάντα,

Ἴσχυν, συμμενίαν, σοφίαν μεγαλοπρεπίαν τε,

Εἰς ἕνα οἷα λίθως πολυτίμως ὅρμον ἐνείρων.

Αἶψα γῆμε καλᾶ, θαλερᾶς ἀλόχοιο κυράσαις

Δισσάκις, ἰσοζυγεῖς ἀμφοῖν ἐπὶ πνεῦσαν ἔρωτες.

Ἀνέρα μὲν σφετέροις ἴσον φαέεσσι τίεσκεν

Ἁ παράκοιτις: ἀεὶ δὲ πολὺ πλέον ἀντιφιλεῖτο.

Ἔσκεν-

Ἔσκεν ἀριστογόνος Μάτηρ, Θεὸς ὑψιγένεθλος
Εὐτεκνίαν ἐδίδου, ἀγητείραισι δὲ πάσαις
Ὅσαι τρίβοισαι πλατέαν Γερμανίδα γαῖαν,
Ἔπρεπε θαλυτέραις, ὄφελος μέγα γειναμένοισιν.
Οἷα δ' εὖ σταφύλοιο θήλατος οἰνάδος ὄρπαξ:
Εὐφορείᾳ παίδων οἶκον τοιοῦτον ἔρεψεν,
Οἱ δὲ πολυκμάτοις ἴκελοι γεγαῶτες ἐλαίαις
Τηλεθόωντες ἀφέδρευον περὶ κύκλα τραπέζας.
Ὄλβῳ μὲν πολλοὺς καταβέβραθη βασιλῆας
Δαιμόνιος, καίπερ δεινοῖς πολέμοισι πιασθείς.
Ἔμπης οἱ χρυσὸς πολυδαίδαλος ἔνδοθι κεῖτο
Οὐχ' ἅτε σωρεύοντ' ἄνδρες κακοκερδέα πλοῦτον,
Οὔτινι φειδωλοὶ δωρεῦντι τετειμμένον ἰόν.
Πλὰν ξενίοις μειλισσομένους ἀποπέμψατο πολλούς.
Ἐκπάγλως δὲ μέλεν πατρῴια πάντα φυλάσσεν,
Εὖ κτητοῖς κεχρῆσθαι, κὴν κτεατιζέμεν ἄλλα,
Καὶ παισὶν ποτικαλλείπεν φίλοις θ' υἱωνοῖς.
Εἰράναν ἐρατὰν φαιδρὸς λαὲ δηθὰ βιώσαις,
Ὥσπερ εὔπρεμνος κέδρος χριστοῖο μελιχρᾶς
Ἐμπαχθεὶς χάριτι, καθαρόφρονα πίστιν ἀείρων.

Τοῦ

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-32243-p0026-6

Τοῦ δὲ σκιὰ φίλον ἀρχομένοις θέλγατρον ὑπέσχε.
Λευγαλέοιο δ' ἅμα πολλὸν πολέμοιο μεθεῖπε,
Τολμάζαις ἐπιόντα μένειν θρασὺν ἀσπιδιώταν.
Οὕτως οὔκε μόρῳ ζοφερὸν φύγε λεύσιμον ἄταν.
Μὴ γὰρ ἀποτροπία, πάντες πότμοιο κέλευθα
Νεισόμεθ' ἄνθρωποι, ἐπὶ πᾶσιν τέρματα κεῖται
Κηρῶν κυανεᾶν. Ἐπέοικε δὲ θνατὸν ἐόντα
Πάντα φέρην κρατερῶς, ἅτ' οὐ δυνάμεσθα ἀμοῖβεν.
Ὥσπερ ὅκα ξεινὸν γλυκέας κόρος ἔλλαβ' ἐδωδᾶς,
Ὕστερον ἁσυχίαν ζατῶν ἀγανόφρον' ἀφέρπει.
Ὥς ὅγ' ἀπῆνθεν ἑκὼν δαροῦ βιότοιο κορεσθείς.
Καὶ μὲν ἐπεὶ βασιλῆ ζοφερὸν δεδμημένον οἴτῳ
Αἰγύπτιοι τέθαφον, κᾶρυξ ἄρα πάντα διῆνθεν
Ἔργματα τεθνεότος, συγερὸν κειθέντος ἀρῆϊ,
Ἠὲ ῥαθυμεῦντος: κακίας ζαθεᾶν ἀρετάων
Πλεῖσθ' ὑπεισχοίσας ἄταφος τύμβοιο στεράθη.
Ἀλλ' εὐεργεσίαις λαῶν, εὐωδεῖ τεγκτὸς
Χρῶτα μύρῳ λαμπρῶς ἐρεβώδεα δύζατο τύμβον.
Καἴκα τόδ' ἀμφ' ἀρχῶν εἰώθαμες ἄμμε ποῆζαι,
Ἦ μὰν τῶν ἀγορευομένων ἔτι πλείονα λείπει,

Πᾶσί τ' ἀοιδοπόλοις αἴνου μέγα λᾶον ἐπαρκεῖ
Ἁμέτερος βασιλεύς, ὡς χάλκεον ἦτορ ἀπειπεῖν,
Ἠδ' ἄῤῥηκτον ἔχειν ἄδδην μεγαλαυχέα φωνὰν
Πράγματα φθέγξασθαι, ζεῦξαί τ' ἐγκώμιον ᾆσμα.
Αὐτὰρ ἐγὼν καύχημα βρέχω νοεραῖσι σιωπαῖς,
Οὕνεκα τὰν ἄλλοι πρότερον πεπνυμένοι ἄνδρες
Εὖ τρίψαντες ὁδὸν, κεῖνον πτερύγεσσιν ἄειρον
Πιερίδων ἐρασιπλοκάμων ποτὶ μακρὸν ὄλυμπον.
Πάντα γὰρ ἐξειπεῖν ἔπεος βραχὺ μέτρον ἀφαιρεῖ.
Πολλάκι δ' ἤνεγκεν μεῖζον σιγώμενον ᾆδος.
Ἄρτι δ' ἐς Ἠλύσιον πεδίον, καὶ πείρατα γαίας
Ἀθανάτων ὑπέδυ, καὶ ἀστερόφοιτον ὄλυμπον.
Τηνεὶ ῥαῖστος τελέθει βίος ἀνθρώποισιν,
Οὐ χειμὼν ψυχρά τε χιὼν, καί κ' ὄμβρος ἄπεστι.
Αὐτὰρ ἀεὶ ζεφύροιο λιγυπνείοντας ἀήτας
Ὠκεανὸς περιάπλει ἀναψύχην πολυόλβους.
Τηνεὶ ἐν ἁμιθέοις σελαγεῖ ὡς ἄστρον ἀγαυὸν,
Ἀμβροσία κεφαλὰν στάζων, ἀλεγεινὰ σεσαρὼς
Κήδεα μηδιάει μερόπων, ὀλοώς τε κυδοιμνώς.
Θασσόμενος δὲ καλῶς σφετέρας βλαστήματα ῥίζας

Ἀλδήσκεν,

Α᾽λδήσκεν, θείοντε φιλεῖν λόγον, ἔξοχα χαίρει.
Τέθνας, καὶ θάνατος βλοσυρώπας ἦτορ ἐδάμνη,
Μηδ᾽ ἄμυδις τὰν δόξαν ἀπώλεσεν, αὐτὰρ οἱ αἰὲν
Ε᾽σλὸν ἐπ᾽ ἐσσομένοις μερόπεσσι λιταίνεται εὖχος,
Ω῾ς ὑπεριονίδας πυριφεγγὴς μίσγετ᾽ ὀμίχλαις
Νυκτὸς ἐφερποίσας πρᾶτον κατ᾽ ὄρθρον ὀρούσων:
Ω῾ς εὖ ἐν τέκνοις κλέος ἀνθήλασε γονῆος.
Α᾽λλὰ τὺ, παμμεδέων γενετὴρ, κλαδοῦχος ὀλύμπω,
Ο῾ς κόσμω διατάττες Α᾽γὼς, ἀρχάς τε μερίσδες.
Δαρὸν ἐν εἰράνᾳ τηρασεῖς Σάξονα Α᾽ρχόν.
Ω῾ς χ᾽ ἀμεῖς ὑπὸ κλωναρίοισι λαθοίμεθα Ρ῾ύτας
Α῾σύχιοι, κατ τῶν δαΐων πρατίδεσσ᾽ ἀτάρακτοι.
Α῎στυ ἕκαστος ἑὸν θαρσῶν ναίοιτο πολίτας,
Α᾽γρὼς ἐργάζοιτο τεθαλότας, ἠδὲ νέοισι
Τετραπόλοις σπόρον ἐμβάλλοι τριπόλοισιν ὁμοίως.
Α῾ χθὼν καρποτόκος φορβὰν ἄδειαν ὀπάσδοι.
Βόσκοιντ᾽ ἀσφαλέως βοτάναις τανα̃ύποδα μᾶλα,
Λεπτοὶ σὺν κεραοῖς μόσχοι μυκῷντο βόεσσιν
Α῍ν πεδίον, κᾆυθις συχνοὶ ἔνθοιεν ἐς αὖλιν.
Μᾶλλον δ᾽ εὐλαβίας καθαρᾶς εὐάμερον ἀμῖν
Λαμπετόοι φάος. Ε᾽υδικία θρέπτειρα ὁδεύοι,
Χ᾽ ἀμετέροισιν ἐτυμία ποτικείσεται οἴκοις.
Τοῦτό γ᾽ Α᾽θανάτον θαλέθοι, Μοισᾶν δὲ φιλαύλων
Η῾δ᾽ ἱλαρᾶν χαρίτων θῶκος χρυσήλατος εἴη.
Ε῎υτε διδασκόντων χωροῖ κόπος, εὖτε μαθόντων,
Πάντα δέ τιν θεὸς ὀρθωτὴρ χαρίεντα γένοιντο.

ὁ θεὸς
ὀιοφυὴς, τριφαὴς, φύσιν εἷς τρισσὸς δὲ πρόσωπα
εὐλογημένος εἴη εἰς τοὺς αἰῶνας
Α᾽μήν.

Ad

*Præstantißimum Juvenem*,

**BALTHASAREM STOLLBERGIUM,**

Carmine Bucolico perorantem.

Οὐ μόνος ὑψιπετὰς Λυκόφρων Πτολεμαῖον ἄεισε,
Τὸν δὴ ΑΠΟ ΜΕΛΙΤΟΥ πάλμυν πεπλασμένον αὐτόν,
Ἀλλ' ἔτι βωκολικᾶς γνώσαντό μιν ἄσματα Μώσας,
Ἄσματ', ἐν οἷς βαθύ τοί γε καὶ ἀθάνατον κλέος εὗρεν.
Τοῦτο γὰρ ἐν θνατοῖς οὐ θνατόν: ὅσοι περ ἀοιδῶν
Κῦρσαν ἐν ἁδυεπῶν μελιγαρύεσιν μελέεσσι,
Τοῖσι βέβακεν ἀεὶ καλῶν ἄσβεστος ἁ ἀκτὶς
Ἔργων. Ὡς ἄρα τὶν Μῶσαι κατὰ Δωρίδ' ἀοιδὰν
Μέλψαν εὔζαλοι τὸν ΣΑΞΟΝΑ θέσκελον Ἀρχόν,
Ἄξιον ἐν πρώτοισι καὶ ἐν πυμάτοισι λέγεσθαι,
Καὶ μέσον. Ὡυτὸς ἐπεὶ χ' ὡς ἔσκε παλαίτατος ἄλλων,
Ὣς καὶ λῷστος ἔῃ τε καὶ ἦς προφερέστατος ἄλλων.
Ἁδὺ γεὸν τὸ μέλος, μέλιτός τε τεὶν στόμα πλῆρες,
Καὶ σχαδόνων: συρισδόμενος δὲ καὶ ἁδὺ μελίσδων
Ἅδιον ἐκ Μοισᾶν πεμφθὲν ποτὲ κέρδος ἀποισῇ.

Johannes Ericus Ostermannus,
P.P.

ULB Halle 3
004 808 436

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-32243-p0031-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-32243-p0032-0

Ch. 32.a, 21.

Vc 3636

SEREN ... TISSIMI

# DN. ... NIS

C ... I.

DUCI ... TORIS

SAXON ... EGLO-

*in Al ... itatum*

Bal ... eid:

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-32243-p0033-5